οἵγ' ἐκτελοῦσι ταὐστρόφων καλωδίων,
ἄρθρων παρόντων ἐν μέρει τροχηλίων·
τότ' εὐπαγὲς δὴ τῶν ἀκαμπτῶν ὀστέων,
ἅσσ' ἀντὶ μοχλῶν σώματι στερρῶν πάρα,
πρόσθ' ἀντ' ἐρεισμάτων τε καὶ στηριγμάτων.
τὸ σχῆμα τ' αὐτὸ τῆς κατασκευῆς, ὅπερ (λ)
δέμας τε σύμπαν σπλάγχνα τ' ἐρρυθμισμένως
κἀγγεῖα μορφοῖ, καὶ τὰ λοιπὰ δὲ σθένη,
οἷάπερ ὁλκὴ καὶ βαρύτης, τἄλλα τε
ὅσ' ἔμφυτ' ἐστιν ἐγγενῆ τε τῇδ' ὅλως
φέροντα πρὸς κίνησιν εὐτονωτάτην.

ϛ. Ἡ σώματος σύμπηξις αἴσθησίς τ' ἄρα § 69
ἄμφω μὲν ὁρμὴν τῇ κινήσει τοῦδ' ἅμα
διδοῦσιν, ἡ μὲν βάθρον ὡς, ἡδ' ὡς σθένος, δ. ε. 76 97-115
οὕτω δ' ἀπ' ἀμφοῖν ἐστιν ἥδ' ἠρτημένη,
ὡς τήν θ' ὕπαρξιν ἔσχε τῶνδε λαμβάνειν,
τήν θ' ἕξιν αὐτὴν ὡς ἂν εὖ κἄλλως ἔχοι (μ).
ἥδ' ἀρτία γὰρ, τῶνδ' ἐχουσῶν ἀρτίως,
τούτων βεβλαμμένων δὲ, βέβλαπτ' αὐτίκα,
πάντῃ δ' ὄλωλε, τῶνδ' ὀλωλυιῶν ὅλως,
ὡς πεῖρα συχνὴ ταῦτα δεικνύει σάφα·
κινήσεως οὖν προὐργιαίτερ' αἵδε που

πε-

---

(λ) ἀρχαίης Ἰητρικ. λθ.—μα. (μ) Γαλην. περὶ συστάσ. Ἰατρικ. δ. νεύρ. ἀνατομ. Α. μυῶν κινήσ. Α. θ-κυουμέν. διαπλάσ. ιγ.